# 0345-0407 - Iohannes Chrysostomus - In natale domini nostri Jesu Christi

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 311 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

[00001] In natale domini nostri Jesu Xhristiὰ ἀὰὰ Εἰς τὴν γέννησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

61.763

[00002] Ὁπόταν ἐκ χειμῶνος κρυεροῦ θερμὸν ἔαρ ἐκλάμψῃ, τότε καὶ ἡ γῆ χλοερὰν πόαν προβάλλεται, καὶ τὰ δένδρα ἀνθοκόμοις πρέμνοις ὡραΐζεται, καὶ ὁ ἀὴρ ἡλίῳ καταλαμπόμενος ἀγλαΐζεται, καὶ πᾶς ὀρνίθων χορὸς, ἀνὰ τὸν αἰθέρα πετώμενος, ταῖς μελῳδίαις κλαγγάζει.

[00003] Τότε καὶ οἱ ἐν τοῖς ὄρεσιν οἰκοῦντες βουνόμοι τε καὶ ποιμένες, τῶν καλυβῶν ὑπεξελθόντες, τῷ τοῦ ἀέρος κάλλει τὰς ὄψεις μεταῤῥυθμίζουσι, καὶ ταῖς τῶν καλλιφώνων ὀρνέων κλάγγεσι πολυφθόγγοις δόναξιν ἀντίμιμα λυρῳδοῦντες, τὰς τῶν ἀλόγων προβάτων αἰσθήσεις ἡδύνοντες, ἐπὶ τὴν πόαν τοὺς ἄρνας πράῳ τῷ βήματι φέρουσι.

[00004] Τότε καὶ γεωργὸς, τὴν δρεπάνην ἐν τῇ σκηνῇ θήξας παρὰ τὴν πέτραν, ἐπὶ τὸν ἀμπελῶνα πορεύεται κεῖραι τῆς ἀμπέλου τὸ ἄγονον κλῆμα.

[00005] Τότε καὶ πελάγιοι πλωτῆρες, ἄζαλον ὁρῶντες τὸ πέλαγος, τὴν χέρσον λιπόντες, ξύλῳ καὶ ὕδατι καὶ πνεύματι τὰς ἑαυτῶν ψυχὰς καταπιστεύσαντες, τοῖς τῆς θαλάσσης κυπρίζοντες νώτοις, ἀφόβως ἐφίπτανται.

[00006] Καὶ ἁπαξαπλῶς, ἵνα μὴ ἐν τῷ προλόγῳ μηκύνω τὸν λόγον, πᾶσα τέχνη, καὶ πᾶν ἐπιτήδευμα πρὸς τὴν χρείαν τῆς ζωῆς τοῖς ἀνθρώποις πεποιημένον, τοῦ γαληνοῦ ἀέρος ἐκλάμψαντος, ἀκώλυτον ἔχει τὴν κίνησιν πρὸς τὴν τῆς ἐργασίας ὁρμήν.

[00007] Δεῦρο τοίνυν, ἐπειδὴ καὶ ἡμῖν τὸ οὐράνιον ἔαρ Χριστὸς ἐκ παρθενικῶν λαγόνων ἀνέτειλε, καὶ τὰς ψυχὰς καὶ ζαλώδεις ὁμίχλας τοῦ διαβόλου διεσκέδασε, καὶ τὰς καθευδούσας τῶν ἀνθρώπων καρδίας ταῖς θεϊκαῖς αὐτοῦ ἀκτῖσιν ἐκ τοῦ καπνοῦ τῆς ἀγνωσίας διύπνισεν, ἐπὶ τὴν οὐράνιον καὶ μακαρίαν δόξαν τὸν νοῦν ἡμῶν παροξύνωμεν.

[00008] Ἀλλ' ἱστᾷ μου τὸν δρόμον τῆς γλώττης ἡ Χριστοῦ γέννα, θεότητα ἀπαστράπτουσα, καὶ πρὸς ἑαυτὴν ἐπισπᾶται.

[00009] Ὅταν γὰρ ὑπ' ὄψιν ἑαυτοῦ ἀγάγω τὸ βρέφος τὸ ἐκ τῆς Παρθένου τεχθὲν, καὶ τὴν παρθένον ἄνευ ἀνδρὸς, καὶ μετὰ τόκον παρθένον [61.764] τυγχάνουσαν, πολυπραγμονῶ τὸ ἔργον, καὶ μὴ εὑρίσκων τὸν τρόπον, τῇ πίστει σφραγίζω τὸ πρᾶγμα.

[00010] Πῶς γὰρ οὐκ ἔστι θαυμαστὸν ἀληθῶς καὶ πᾶσαν ὑπερβαῖνον ἔννοιαν, τὸ παρθένον γεννῆσαι, καὶ παρθένον εὑρεθῆναι μετὰ τὸν τόκον;

[00011] Καὶ ὅτι ἐγέννησε, τὸ κυηθὲν βρέφος ἤλεγχε·

[00012] καὶ ὅτι μετὰ τὴν κύησιν παρθένος ἐτύγχανεν, ἡ οἰκεία αὐτῆς τοῦ σώματος φύσις ἐδίδασκεν.

[00013] Ἴδε οὖν μυστήριον ὁρατὸν καὶ ἀόρατον, κρατούμενον καὶ μὴ κρατούμενον, ψηλαφώμενον καὶ μὴ εὑρισκόμενον.

[00014] Τίς γὰρ οὐχ ἑώρα καὶ ἐκράτει καὶ τὸ βρέφος καὶ τὴν μητέρα;

[00015] τίς δὲ ὁρῶν τὴν μητέρα παρθένον, καὶ τὸ βρέφος παρθένου τέκνον, τὸ μυστήριον πολυπραγμονῶν ἐξευρίσκει;

[00016] Ὢ μυστηρίου ἀληθῶς ἐπουρανίου καὶ ἐπιγείου, κρατουμένου καὶ μὴ κρατουμένου, ὁρωμένου καὶ μὴ φαινομένου! Τοιοῦτος γὰρ ἦν, καὶ ὁ γεννηθεὶς Χριστὸς σήμερον, οὐράνιος καὶ ἐπίγειος, κρατούμενος καὶ μὴ κρατούμενος, ὁρώμενος καὶ ἀόρατος·

[00017] οὐράνιος κατὰ τὴν τῆς θεότητος φύσιν, ἐπίγειος κατὰ τὴν τῆς ἀνθρωπότητος σχέσιν, ὁρώμενος κατὰ τὴν σάρκα, ἀόρατος κατὰ τὸ πνεῦμα, κρατούμενος κατὰ τὴν σάρκα, ἀκράτητος κατὰ τὸν Λόγον.

[00018] Ἀλλὰ Χριστὸς μὲν Θεὸς ὢν παντοδύναμος.

[00019] ὡς ἐβούλετο, τῷ ἰδίῳ κόσμῳ τεχθεὶς ἐπεφάνη·

[00020] ἐκπλήττει δέ μου πλεῖον τὸν νοῦν ἡ τῆς Παρθένου ὠδὶν, ὅτι Παρθένος οὐκ ἐξ οὐρανοῦ κατελθοῦσα, ἀλλ' ἐκ σπέρματος Δαυῒδ ὁρωμένη, οὐκ ἐκ πνεύματος τυγχάνουσα, ἀλλ' ἐκ σώματος καὶ ψυχῆς συνιστῶσα, ἐν γαστρὶ ἐλάμβανε;

[00021] καὶ ὁ ὄγκος τῆς γαστρὸς κατηγόρει τοῦ πράγματος, καὶ ὁ τοῦ ἔνδοθεν βρέφους σπορεὺς οὐκ ἐφαίνετο.

[00022] Οὐρανὸν γὰρ κατοικεῖ, καὶ τὸ βρέφος ἐν τῇ παρθενικῇ νηδύϊ μυστικῶς ἐτελεσιούργησε.

[00023] Διὰ τῆς φύσεως ἐτίκτετο, καὶ αἱ μαῖαι ἐψηλάφων καὶ τὴν γεννῶσαν φύσιν καὶ τὸ βρέφος, καὶ τὴν φθορὰν, ὡς ἐπ' ἄλλων γυναικῶν, οὐχ εὕρισκον·

[00024] Θεὸς γὰρ ἦν ὁ δι' αὐτῆς προερχόμενος.

[00025] Ὦ βάτε, [61.765] ἣν εἶδε Μωϋσῆς ἐν τῷ ὄρει καιομένην, καὶ μὴ κατακαιομένην! Παρθένε Μαρία, γεννῶσα καὶ μὴ φθειρομένη·

[00026] ὦ λίθε, ὃν εἶδε Δανιὴλ ἀπὸ ὄρους τεμνόμενον ἄνευ χειρὸς ἀνθρωπίνης! ὦ παρθένου βρέφους παρθένε μῆτερ, καὶ τέκνον ἱερὸν μητρὸς ἀνυμφεύτου! Ποῦ οἱ φιλοπράγμονες;

[00027] λεγέτωσαν ἡμῖν, πῶς ἡ Παρθένος ἄνευ ἀνδρὸς ἐγέννησε βρέφος, καὶ γεννήσασα οὐκ ἐφθάρη.

[00028] Εἰ δὲ ἀνεξερεύνητος ὁ τρόπος, ἐπειδὴ ἐκ Πνεύματος ὁ γόνος, πολλῷ μᾶλλον ἀνεξιχνίαστος ἡ ἐκ Πατρὸς τοῦ Λόγου ἄφραστος γέννησις.

[00029] Ἀλλὰ σὺ μὲν πιστεύεις, ἐπιτηρεῖς δὲ ὅτι γεννήσασα οὐκ ἐφθάρη·

[00030] ἀλλὰ Θεοῦ κατηγορεῖς λέγων·

[00031] Εἰ δὲ ὁ ἄφθαρτος Πατὴρ γεννήσας τὸν Υἱὸν αὐτοῦ κατὰ τὴν σὴν ἄνοιαν ἐφθάρη, πολλῷ μᾶλλον ἡ φθαρτῆς φύσεως οὖσα Παρθένος γεννήσασα ἂν ἐφθάρη.

[00032] Εἰ δὲ σὺ αὐτὸς μαρτυρεῖς τὴν Παρθένον γεννήσασαν μὴ φθαρῆναι, πολλῷ μᾶλλον πίστευε τὸν ἄφθαρτον Πατέρα γεννήσαντα τὸν ἄφθαρτον Υἱὸν μὴ φθαρῆναι.

[00033] Ἀλλ' ἐάσαντες τοὺς ματαιολόγους, ἐπὶ τοὺς θεολόγους κήρυκας ἀναδράμωμεν.

[00034] Τοῦ δὲ Ἰησοῦ Χριστοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως.

[00035] Ἀναγκαίως ὁ εὐαγγελιστὴς σημειοῦται καὶ τὸν τόπον καὶ τὸν χρόνον, ἵν' ὁ ἀπιστῶν τὴν κατὰ σάρκα γέννησιν τοῦ Σωτῆρος, ζητήσας τὸν τόπον καὶ τὸν χρόνον, εὕρῃ τῆς ἀληθείας τὸ πρᾶγμα.

[00036] Τὸν μὲν γὰρ χρόνον, ἐκ τῆς Ἡρώδου ἀρχῆς τοῖς χρονογράφοις ἐγκύψας, τὸν δὲ τόπον, ἐκ τῆς κατὰ τὴν Βηθλεὲμ σημασίας ζητήσας εὑρήσει.

[00037] Εἰ γὰρ ἐν τοῖς κοσμικοῖς συμβολαίοις καὶ ὕπατοι γράφονται, καὶ μῆνες ἀριθμοῦνται, καὶ ἡμέραι δηλοῦνται, καὶ πόλεις περιτυποῦνται ὑπὲρ ἀκριβείας τῶν λεγομένων·

[00038] πόσῳ μᾶλλον δεῖ, τῆς τοῦ κόσμου παντὸς σωτηρίας τεχθείσης, καὶ τοῖς εἰς ὕστερον γνωσθῆναι τοῦ τόπου καὶ τοῦ καιροῦ τὴν ἀκρίβειαν! Καὶ Ματθαῖος μὲν τὴν κατὰ σάρκα γέννησιν τοῦ Χριστοῦ οὕτω διηγεῖται·

[00039] Λουκᾶς δὲ ὑπὲρ τῆς τῶν χρόνων ἀκριβείας προστίθησι καὶ τὴν τότε πρῶτον γεγονυῖαν ἀπογραφήν.

[00040] Λέγει γὰρ οὕτως·

[00041] Ἐν ἔτει τεσσαρακοστῷ πρώτῳ ἐπὶ Καίσαρος Αὐγούστου, Ἐξῆλθε δόγμα ἀπὸ Αὐγούστου, ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην.

[00042] Αὕτη ἡ ἀπογραφὴ πρώτη.

[00043] Ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας εἰς τὴν Ἰουδαίαν εἰς πόλιν Δαυῒδ, ἥτις καλεῖται Βηθλεὲμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαυῒδ, ἀπογράψασθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ, γυναικὶ οὔσῃ ἐγκύῳ.

[00044] Σημειοῦται δὲ Λουκᾶς τὴν πρώτην γεγονυῖαν ἀπογραφὴν, ὁμοῦ μὲν καὶ τὸν χρόνον ἀκριβάζων, καὶ μυστήριον μέγιστον ἐκ τοῦ ἐμφανοῦς ἀφανὲς ὑπεκφαίνων.

[00045] Λέγει γὰρ πρώτην καὶ βιαίαν ἀπογραφὴν, τὸ γεγενῆσθαι τὸν ἄνθρωπον.

[00046] Χριστοῦ γὰρ γεννηθέντος, καὶ σαρκὸς λοιπὸν θεοποιουμένης, καὶ διαβόλου ἐκβαλλομένου, καὶ θανάτου λυομένου, ἔδει ψυχὰς δικαίων, καὶ πιστῶν ὀνόματα ἐν ταῖς τῶν οὐρανῶν ἀπογράφεσθαι βίβλοις, κάτω μὲν Καίσαρος κελεύοντος, ἄνω δὲ τοῖς ἀγγέλοις Πατρὸς προστάττοντος.

[00047] Διὸ καὶ ὁ Κύριος τοῦτο εὐαγγελιζόμενος τοῖς μαθηταῖς αὐτοῦ ἔλεγε·

[00048] Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται, ἀλλὰ χαίρετε ὅτι τὰ ὀνόματα ὑμῶν ἐν τοῖς οὐρανοῖς ἀναγέγραπται.

[00049] Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρώδου, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο λέγοντες, Ποῦ ἔστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων;

[00050] εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτόν.

[00051] Οἴμοι! νικῶμαι τοῖς θαύμασι, συνέχομαι ταῖς θεωρίαις, καὶ ἡ γλῶσσά μου οὐχ εὑρίσκει τι πρότερον εἰπεῖν, ἢ τί παραλείπειν.

[00052] Ἐὰν τὴν γέννησιν αὐτοῦ καταμάθω, ἐκπλήττομαι, ὅτι πρὶν ἢ τῆς φύσεως τὸ παιδίον ἐξέλθῃ, σημεῖα ἐπιτελεῖ.

[00053] Ἦ γὰρ οὐκ ἔστι μέγιστον σημεῖον, τὸ παρθένον μετὰ τὸ γεννῆσαι παρθένον μεῖναι, καὶ τὸν οὐρανὸν σιωπῶντα δι' ἀστέρος λαλεῖν;

[00054] Καὶ τοῖς διψῶσι τὸν τεχθέντα ἰδεῖν, ἀστέρα πέμπει συνέκδημον καὶ δεικνύει τὸ ποθούμενον βρέφος.

[00055] Καὶ Ματθαῖος μὲν μάγων μνημονεύει ἐξ ἀνατολῶν ἐλθόντων·

[00056] Λουκᾶς δὲ ἀγγέλου·

[00057] λέγει γάρ·

[00058] Καὶ ποιμένες ἦσαν ἀγραυλοῦντες, καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν.

[00059] Καὶ ἄγγελος Κυρίου ὤφθη αὐτοῖς, καὶ δόξα Κυρίου περιέλαμψεν αὐτοὺς, καὶ ἐφοβήθησαν φόβον μέγαν.

[00060] Καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος, Μὴ φοβεῖσθε·

[00061] ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ, ὅτι ἐτέχθη ἡμῖν σήμερον Χριστὸς Κύριος ἐν πόλει Δαυΐδ.

[00062] Καὶ ἐγένετο ἐξαίφνης σὺν τῷ ἀγγέλῳ πλῆθος οὐρανίου στρατιᾶς, [61.766] αἰνούντων τὸν Θεὸν καὶ λεγόντων·

[00063] Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

[00064] Χριστὸς ἐγεννήθη, τὰ ἐπίγεια τοῖς οὐρανίοις συνάπτεται, ἄγγελοι σὺν ἀνθρώποις χορεύουσι, ποιμένες ἀγραυλοῦσι, καὶ μάγοι προσκυνοῦσιν, οὐρανὸς λαμπαδουχεῖται, καὶ ἡ γῆ τὸν καρπὸν αὐτῆς λαμπρὸν ἐπὶ φάτνης βαστάζει.

[00065] Καὶ ἐπληρώθη τότε τὸ ἐπὶ τῇ γῇ γεγραμμένον, τὸ, Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλεν·

[00066] Ἀλήθεια γὰρ Χριστὸς ὁ λέγων·

[00067] Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια.

[00068] Ἐκ τῆς γῆς, τουτέστιν, ἐκ τῆς παρθένου ἀνέτειλε κατὰ σάρκα.

[00069] Ζητῶ δὲ πόθεν οἱ μάγοι περὶ τοῦ ἀστέρος διδαχθέντες, αὐτῷ ἐχρῶντο ὁδηγῷ πρὸς τὴν τοῦ ζητουμένου παιδίου ἀνεύρεσιν.

[00070] Οὐ γὰρ, ὥς τινες ἐφαντάσθησαν, πλάνον εἶναι τὸν ἀστέρα λέγοντες, καὶ τοὺς μάγους μὴ ἀληθὲς παιδίον ἐπιζητεῖν.

[00071] Πῶς γὰρ, εἰ πλάνος ἦν ὁ ἀστὴρ, τὴν ἀλήθειαν Χριστὸν ἀνεδείκνυεν;

[00072] ἕως γὰρ ἐκείνου φθάσας, ἔστη τοῦ δρόμου.

[00073] Πῶς δὲ καὶ οἱ μάγοι, εἰ οὐκ ἀληθείᾳ ἀπήρχοντο, τοιαύτας αὐτῷ προσφορὰς ἐκ τῶν οἰκείων ἐκόμιζον πόνων, μηνυούσας τὴν αὐτοῦ θεότητα καὶ ἀνθρωπότητα, καὶ τὸ προφητικὸν πληρούσας, τὸ, Ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας;

[00074] Οὐδ' αὖ πάλιν, ὡς οἱ μυθολόγοι φασὶν εἶναι ἀστέρα καθ' ἕκαστον τῶν γεννωμένων ἀνθρώπων ἀνατέλλοντα·

[00075] οἵτινες οὐδὲ τὴν παρ' Ἕλλησι μυθευομένην ἀστρολογίαν ἴσασιν.

[00076] Ἀλλ' ἄρα καὶ αὐτοὺς οἱ τοιοῦτοι Χριστιανοὺς εἶναι νομίζουσι·

[00077] πρὸς οὓς ἐροῦμεν·

[00078] Ὦ φιλόσοφοι, εἰ τοῦτο ἦν, ὃ ὑμεῖς λέγετε, εἴπατε ἡμῖν, πῶς τοῦ Ἀδὰμ καὶ τῆς Εὔας δύο μόνων ὄντων ἀνθρώπων, ὁ οὐρανὸς τῶν αὐτῶν ἐπεπλήρωτο ἀστέρων;

[00079] καὶ κατακλυσμοῦ γεγονότος, καὶ πάντων τῶν ἀνθρώπων ὕδατι θανόντων, οἱ αὐτοὶ ἦσαν ἀστέρες μὴ πεσόντες, καὶ τῆς αὐτῆς τῶν ἄστρων χορείας τυγχανούσης, μόνος ἦν Νῶε μετὰ τῶν τριῶν υἱῶν καὶ τῶν γυναικῶν;

[00080] Ἀλλὰ δεῖ προσέχειν ταῖς Γραφαῖς, καὶ νοεῖν τὰ μυστήρια.

[00081] Βαλαὰμ γάρ τις ἦν προφήτης, ὃν μετακαλεσάμενος ὁ βασιλεὺς τῶν Μωαβιτῶν ἐπὶ τὸ τὸν Ἰσραὴλ ἐξιόντα ἐκ γῆς Αἰγύπτου καταράσασθαι·

[00082] ἐπειδὴ οὓς ἂν ηὐλόγησεν, ηὐλόγηνται, καὶ οὓς ἂν κατηράσατο κατήραντο·

[00083] γενόμενος ἐγγὺς τῆς στρατοπεδείας τοῦ Ἰσραὴλ, καὶ ἀνελθὼν ἐπὶ τὴν ἀκρώρειαν τοῦ ὄρους, θεωρήσας τὸν Ἰσραὴλ παρεμβεβληκότα, ἀναλαβὼν αὐτοῦ τὴν παραβολὴν, καὶ προφητεύσας εἶπεν·

[00084] Ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ, καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ·

[00085] καὶ συντρίψει τοὺς ἀρχηγοὺς Μωὰβ, καὶ προνομεύσει τοὺς υἱοὺς Ἀμμών.

[00086] Οὗτοι οὖν οἱ μάγοι ἐκ τοῦ γένους τοῦ Βαλαὰμ τοῦ προφήτου ὁρμώμενοι, κατακολουθήσαντες αὐτοῦ ταῖς βίβλοις καὶ ταῖς προφητείαις, καὶ νοήσαντες ὅτι, ὅτε ἀνατελεῖ ἄστρον, τότε ἀναστήσεται καὶ ὁ ἄνθρωπος, δηλονότι ὁ Βασιλεὺς τῶν Ἰουδαίων, ὅστις οὐ μόνον τοὺς ἀρχηγοὺς Μωὰβ συντρίψει, ἀλλὰ καὶ πάσας τοῦ διαβόλου τὰς βασιλείας λεπτυνεῖ καὶ λικμήσει κατὰ τὸν Δανιὴλ, παρετήρουν τὸν καιρόν·

[00087] καὶ θεωρήσαντες τὸν ἀστέρα ξένον παρὰ τοὺς ἄλλους ἀνατείλαντα, ἔγνωσαν αὐτὸν εἶναι τὸν πάλαι προφητευθέντα, καὶ κατακολουθήσαντες, εὑρηκότες τε τὸν τεχθέντα, ἐχάρησαν, τῶν πάλιν προφητευθέντων εὑρηκότες τὴν ἔκβασιν.

[00088] Σὺ δέ μοι νόει, ἀκροατὰ, τοὺς μάγους εἶναι τύπους τῶν ἐκ τῆς ἀσεβείας τῆς πλάνης ἐπιστρεψάντων ἐθνῶν, οὐ τελείῳ φωτὶ ὁδηγουμένους, ἀλλ', ὅσον ἀπαυγάσματι φωτὸς διὰ Ἰωάννου, ὡς δι' ἀστέρος, πρὸς τὸν ἐν σαρκὶ τεχθέντα Χριστὸν ὁδηγουμένους.

[00089] Ὅρα γάρ μοι καὶ τὸν ἀστέρα ἄχρι τοῦ παιδίου ἐλθόντα, καὶ σταθέντα τοῦ δρόμου.

[00090] Καὶ γὰρ Ἰωάννης, δίκην ἀστέρος, τῷ κηρύγματι ὑπολάμψας, καὶ ὑποδείξας Χριστὸν λέγων, Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐπαύσατο τοῦ δρόμου·

[00091] εἴρηκε γὰρ, Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι.

[00092] Καὶ ἐλθόντες, φησὶν, οἱ μάγοι εὗρον τὸ παιδίον καὶ τὴν μητέρα·

[00093] καὶ πεσόντες προσεκύνησαν αὐτῷ.

[00094] Δεῖ γὰρ τοὺς ἀπὸ ἐθνικοῦ βίου προσιόντας Χριστῷ, πρῶτον πεσεῖν ἀπὸ τοῦ ὕψους τῆς ἀσεβείας, καὶ οὕτως ὥσπερ ἀπὸ γῆς ἐγειρομένους, τὴν κατὰ σάρκα γέννησιν τοῦ Χριστοῦ ὁμολογεῖν, εἶθ' οὕτως ἀνὰ μέρος πρὸς τὴν οὐράνιον αὐτοῦ θεότητα ἀνανεύειν.

[00095] Καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν, προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν·

[00096] χρυσὸν ὡς βασιλεῖ, λίβανον ὡς Θεῷ, σμύρναν ὡς παθητῷ δι' ἡμᾶς.

[00097] Καὶ ἐδέχετο ὁ Χριστὸς τὰ δῶρα, οὐκ αὐτὸς χρῄζων, ἀλλὰ τοὺς φέροντας ὠφελῶν.

[00098] Χρυσὸν μὲν γὰρ δεχόμενος, φιλαργυρίας αὐ [61.767] τοὺς ἀπέστρεφε·

[00099] λίβανον δεχόμενος, εἰδωλολατρείας ἀπήλλασσε·

[00100] σμύρναν δὲ κομιζόμενος, τὴν νέκρωσιν αὐτῶν ἀπέσμηχε τῆς ψυχῆς.

[00101] Εἰ δὲ δεῖ καὶ ἕτερον μυστήριον θεωρῆσαι, καταμάθωμεν ἀκριβῶς.

[00102] Χρυσὸν καὶ σμύρναν προσφέρουσι τῷ τεχθέντι.

[00103] Ἐπειδὴ ἦν περὶ αὐτοῦ γεγραμμένον τὸ, Αὐτῷ κάμψει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, ἐν ταῖς προσφοραῖς προετύπουν τὸ μέλλον, ἐν τῷ χρυσῷ δηλοῦντες τὴν τῶν οὐρανίων ἀγγέλων δοξολογίαν, ἐν τῷ λιβάνῳ τὴν τῶν ἐπιγείων ἀνθρώπων γονυκλισίαν, ἐν τῇ σμύρνῃ, τῶν ἐν ᾅδου ψυχῶν κατεχομένων τὴν ἱκεσίαν.

[00104] Ἐπειδὴ τρεῖς ἀρετὰς δεῖ κεκτῆσθαι τὸν προσελθόντα Χριστῷ, ἃς φάσκει ὁ Ἀπόστολος, πίστιν, ἐλπίδα, ἀγάπην, [61.768] ἀνοίξαντες [δὲ] τοὺς θησαυροὺς τῆς καρδίας, προσεκόμιζον πίστιν, ὡς χρυσὸν ἐξαστράπτουσαν·

[00105] ἐλπίδα, ὡς λίβανον εὐωδιάζουσαν·

[00106] ἀγάπην, ὡς σμύρναν συσφίγγουσαν τὰ μέλη τῆς Ἐκκλησίας.

[00107] Καὶ χρηματισθέντες κατ' ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν.

[00108] Ἐχρῆν γὰρ τοὺς ἅπαξ προσελθόντας Χριστῷ, μὴ τοῖς αὐτοῖς ἴχνεσι τῆς ἀσεβείας ἀναλύειν·

[00109] ἀλλὰ τὴν ἁγνὴν ἐξασκήσαντας πίστιν καὶ πρᾶξιν, τὸν ἀνθρωποκτόνον ὄφιν λαθόντας, ἀναχωρεῖν εἰς κληρονομίαν Χριστοῦ.

[00110] Αὐτῷ γὰρ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00111] Ἀμήν.

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - In natale domini nostri Jesu Christi**
**Litterarum Omnium Conspectus: 126 Litterae, quae repetitae sunt in 10,206 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 780 | Α | 0913 | 6 |
| β | 0946 | 64 | Β | 0914 | 7 |
| γ | 0947 | 227 | Γ | 0915 | 2 |
| δ | 0948 | 141 | Δ | 0916 | 0 |
| ε | 0949 | 491 | Ε | 0917 | 7 |
| ζ | 0950 | 23 | Ζ | 0918 | 2 |
| η | 0951 | 151 | Η | 0919 | 0 |

| | | | | | |
|---|---|---|---|---|---|
| θ | 0952 | 158 | Θ | 0920 | 7 |
| ι | 0953 | 376 | Ι | 0921 | 1 |
| κ | 0954 | 327 | Κ | 0922 | 22 |
| λ | 0955 | 258 | Λ | 0923 | 7 |
| μ | 0956 | 269 | Μ | 0924 | 10 |
| ν | 0957 | 937 | Ν | 0925 | 1 |
| ξ | 0958 | 32 | Ξ | 0926 | 0 |
| ο | 0959 | 675 | Ο | 0927 | 5 |
| π | 0960 | 286 | Π | 0928 | 17 |
| ρ | 0961 | 472 | Ρ | 0929 | 0 |
| ς | 0962 | 443 | • | 0930 | 0 |
| σ | 0963 | 343 | Σ | 0931 | 3 |
| τ | 0964 | 782 | Τ | 0932 | 8 |
| υ | 0965 | 196 | Υ | 0933 | 2 |
| φ | 0966 | 88 | Φ | 0934 | 0 |
| χ | 0967 | 75 | Χ | 0935 | 24 |
| ψ | 0968 | 24 | Ψ | 0936 | 0 |
| ω | 0969 | 107 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 1 | | | 0 |
| ῥ | 8165 | 1 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 98 | έ | 8051 | 161 | ή | 8053 | 53 | ί | 8055 | 129 | ό | 8057 | 116 | ύ | 8059 | 66 | ώ | 8061 | 36 |
| ὰ | 8048 | 90 | ὲ | 8050 | 39 | ὴ | 80852 | 87 | ὶ | 8054 | 161 | ὸ | 8056 | 134 | ὺ | 8058 | 37 | ὼ | 8060 | 3 |
| ᾶ | 8118 | 20 | | | 0 | ῆ | 8134 | 71 | ῖ | 8150 | 79 | | | 0 | ῦ | 8166 | 93 | ῶ | 8182 | 78 |
| ἀ | 7936 | 136 | ἐ | 7952 | 134 | ἠ | 7968 | 0 | ἰ | 7984 | 33 | ὀ | 8000 | 4 | ὐ | 8016 | 79 | ὠ | 8032 | 2 |
| ἁ | 7937 | 3 | ἑ | 7953 | 4 | ἡ | 7969 | 25 | ἱ | 7985 | 17 | ὁ | 8001 | 40 | ὑ | 8017 | 23 | ὡ | 8033 | 11 |
| ἂ | 7938 | 3 | ἒ | 7954 | 0 | ἢ | 7970 | 3 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 1 |
| ἃ | 7939 | 1 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 0 | ὃ | 8003 | 3 | ὓ | 8019 | 3 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 26 | ἔ | 7956 | 16 | ἤ | 7972 | 2 | ἴ | 7988 | 8 | ὄ | 8004 | 10 | ὔ | 8020 | 2 | ὤ | 8036 | 1 |
| ἅ | 7941 | 1 | ἕ | 7957 | 3 | ἥ | 7973 | 2 | ἵ | 7989 | 3 | ὅ | 8005 | 12 | ὕ | 8021 | 12 | ὥ | 8037 | 2 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 9 | ἶ | 7990 | 11 | | | 0 | ὖ | 8022 | 4 | ὦ | 8038 | 2 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 0 | | | 0 | ὗ | 8023 | 2 | ὧ | 8039 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 1 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 1 | | | 0 | ῃ | 8131 | 6 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 14 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 1 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 1 | | | 0 | ῇ | 8135 | 11 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 32 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - In natale domini nostri Jesu Christi**
**Verborum Omnium Conspectus: 953Verba, quae repetita sunt in 3,460,847 occasionibus**

---

**ἀὰὰ** [00001]
**ἀγάγω** [00009]
**ἀγάπην** [00104] [00106]
**ἄγγελοι** [00064]
**ἀγγέλοις** [00046]
**ἄγγελος** [00059] [00060]
**ἀγγέλου** [00056]
**ἀγγέλῳ** [00062]
**ἀγγέλων** [00103]
**ἀγλαΐζεται** [00002]
**ἁγνὴν** [00109]
**ἀγνωσίας** [00007]
**ἄγονον** [00004]
**ἀγραυλοῦντες** [00058]
**ἀγραυλοῦσι** [00064]
**Ἀδὰμ** [00078]
**ᾅδου** [00103]
**ἀέρος** [00003] [00006]
**ἄζαλον** [00005]
**ἀὴρ** [00002]
**αἱ** [00023]
**Αἰγύπτου** [00081]
**αἰθέρα** [00002]
**αἰνούντων** [00062]
**αἴρων** [00090]
**αἰσθήσεις** [00003]
**αἰῶνας** [00110]
**αἰώνων** [00110]
**ἀκράτητος** [00017]
**ἀκριβάζων** [00044]
**ἀκρίβειαν** [00038]
**ἀκριβείας** [00037] [00039]
**ἀκριβῶς** [00101]
**ἀκροατὰ** [00088]
**ἀκρώρειαν** [00083]
**ἀκτῖσιν** [00007]
**ἀκώλυτον** [00006]
**ἀλήθεια** [00067]
**ἀληθείᾳ** [00073]
**Ἀλήθεια** [00065] [00066]
**ἀλήθειαν** [00071]
**ἀληθείας** [00035]
**ἀληθὲς** [00070]
**ἀληθῶς** [00010] [00016]
**ἀλλ** [00020] [00020] [00088]
**Ἀλλ** [00008] [00033] [00076]
**ἀλλὰ** [00030] [00048] [00086] [00097] [00109]
**Ἀλλὰ** [00018] [00029] [00080]
**ἄλλης** [00107]
**ἄλλους** [00087]
**ἄλλων** [00023]
**ἀλόγων** [00003]
**ἁμαρτίαν** [00090]
**Ἀμήν** [00111]
**Ἀμμών** [00085]
**ἀμνὸς** [00090]

**ἀμπέλου** [00004]
**ἀμπελῶνα** [00004]
**ἂν** [00031] [00082] [00082]
**ἀνὰ** [00002] [00094]
**ἀναγέγραπται** [00048]
**Ἀναγκαίως** [00035]
**ἀναδράμωμεν** [00033]
**ἀνακάμψαι** [00107]
**ἀναλαβὼν** [00083]
**ἀναλύειν** [00108]
**ἀνανεύειν** [00094]
**ἀναστήσεται** [00084] [00086]
**ἀνατείλαντα** [00087]
**ἀνατελεῖ** [00086]
**Ἀνατελεῖ** [00084]
**ἀνατέλλοντα** [00074]
**ἀνατολῇ** [00050]
**ἀνατολῶν** [00049] [00055]
**ἀναχωρεῖν** [00109]
**ἀνδρὸς** [00009] [00027]
**Ἀνέβη** [00043]
**ἀνεδείκνυεν** [00071]
**ἀνελθὼν** [00083]
**ἀνεξερεύνητος** [00028]
**ἀνεξιχνίαστος** [00028]
**ἀνέτειλε** [00007] [00068]
**ἀνέτειλεν** [00065]
**ἄνευ** [00009] [00026] [00027]
**ἀνεύρεσιν** [00069]
**ἀνεχώρησαν** [00107]
**ἀνθοκόμοις** [00002]
**ἀνθρωπίνης** [00026]
**ἀνθρώποις** [00006] [00063] [00064]
**ἀνθρωποκτόνον** [00109]
**ἄνθρωπον** [00045]
**ἄνθρωπος** [00084] [00086]
**ἀνθρωπότητα** [00073]
**ἀνθρωπότητος** [00017]
**ἀνθρώπων** [00007] [00074] [00078] [00079] [00103]
**ἄνοιαν** [00031]
**ἀνοίξαντες** [00095] [00104]
**ἀντίμιμα** [00003]
**ἀνυμφεύτου** [00026]
**ἄνω** [00046]
**ἀόρατον** [00013]
**ἀόρατος** [00016] [00017]
**ἅπαξ** [00108]
**ἁπαξαπλῶς** [00006]
**ἀπαστράπτουσα** [00008]
**ἀπαυγάσματι** [00088]
**ἀπέσμηχε** [00100]
**ἀπέστρεφε** [00098]
**ἀπήλλασσε** [00099]
**ἀπήρχοντο** [00073]
**ἀπιστῶν** [00035]
**ἀπογράφεσθαι** [00041] [00046]
**ἀπογραφὴ** [00042]
**ἀπογραφὴν** [00044] [00045]
**ἀπογραφήν** [00039]
**ἀπογράψασθαι** [00043]
**Ἀπόστολος** [00104]
**ἄρα** [00076]
**Ἀραβίας** [00073]
**ἀρετὰς** [00104]
**ἀριθμοῦνται** [00037]
**ἄρνας** [00003]
**ἀρχηγοὺς** [00085] [00086]
**ἀρχῆς** [00036]
**ἃς** [00104]
**ἀσεβείας** [00088] [00094] [00108]
**ἀστέρα** [00050] [00054] [00070] [00074] [00087] [00089]
**ἀστέρες** [00079]
**ἀστέρος** [00053] [00069] [00088] [00090]
**ἀστέρων** [00078]
**ἀστὴρ** [00071]
**ἀστρολογίαν** [00075]
**ἄστρον** [00084] [00086]
**ἄστρων** [00079]
**αὐ** [00098]
**αὖ** [00074]
**Αὐγούστου** [00041] [00041]
**αὐξάνειν** [00091]
**Αὕτη** [00042]
**αὐτῆς** [00012] [00024] [00064] [00079]
**αὐτοὶ** [00079]
**αὐτοῖς** [00059] [00060] [00108]
**αὐτὸν** [00043] [00087]
**αὐτόν** [00050]
**αὐτὸς** [00032] [00097]
**αὐτοῦ** [00007] [00047] [00050] [00052] [00073] [00083] [00086] [00094] [00103]
**αύτοῦ** [00031]
**αὐτοὺς** [00059] [00076]
**Αὐτῷ** [00103] [00110]
**αὐτῷ** [00043] [00069] [00073] [00073] [00093] [00095]
**αὐτῶν** [00058] [00078] [00095] [00100]
**αύτῶν** [00107]
**ἀφανὲς** [00044]
**ἄφθαρτον** [00032] [00032]
**ἄφθαρτος** [00031]
**ἀφόβως** [00005]
**ἄφραστος** [00028]
**ἄχρι** [00089]

**Βαλαὰμ** [00081] [00086]
**βασιλεῖ** [00096]
**βασιλείας** [00086]
**Βασιλεὺς** [00086]
**βασιλεὺς** [00049] [00081]
**βασιλέως** [00034]
**βαστάζει** [00064]
**βάτε** [00025]
**Βηθλεὲμ** [00034] [00036] [00043] [00049]
**βήματι** [00003]
**βιαίαν** [00045]

**βίβλοις** [00046] [00086]
**βίου** [00094]
**βουνόμοι** [00003]
**βρέφος** [00009] [00011] [00014] [00015] [00022] [00023] [00027] [00054]
**βρέφους** [00021] [00026]

**γαληνοῦ** [00006]
**Γαλιλαίας** [00043]
**γὰρ** [00009] [00010] [00014] [00016] [00022] [00024] [00036] [00037] [00040] [00045] [00046] [00050] [00053] [00061] [00066] [00070] [00071] [00072] [00090] [00091] [00094] [00098] [00108] [00110]
**γάρ** [00057] [00081] [00089]
**γαστρὶ** [00020]
**γαστρὸς** [00021]
**γεγενῆσθαι** [00045]
**γεγονότος** [00079]
**γεγονυῖαν** [00039] [00044]
**γεγραμμένον** [00065] [00103]
**γέννα** [00008]
**γεννηθεὶς** [00016]
**γεννηθέντος** [00034] [00046] [00049]
**γεννῆσαι** [00010] [00053]
**γεννήσαντα** [00032]
**γεννήσας** [00031]
**γεννήσασα** [00027] [00029] [00031]
**γεννήσασαν** [00032]
**γέννησιν** [00001] [00035] [00038] [00052] [00094]
**γέννησις** [00028]
**γεννωμένων** [00074]
**γεννῶσα** [00025]
**γεννῶσαν** [00023]
**γενόμενος** [00083]
**γένους** [00086]
**γεωργὸς** [00004]
**γῆ** [00002] [00064]
**γῇ** [00065]
**γῆς** [00063] [00065] [00068] [00081] [00094]
**γλῶσσά** [00051]
**γλώττης** [00008]
**γνωσθῆναι** [00038]
**γόνος** [00028]
**γόνυ** [00103]
**γονυκλισίαν** [00103]
**Γραφαῖς** [00080]
**γράφονται** [00037]
**γυναικὶ** [00043]
**γυναικῶν** [00023] [00079]

**δαιμόνια** [00048]
**Δανιὴλ** [00026] [00086]
**Δαυῒδ** [00020] [00043] [00043]
**Δαυΐδ** [00061]
**δὲ** [00015] [00028] [00029] [00031] [00032] [00034] [00036] [00039] [00043] [00044] [00046] [00049] [00056] [00069] [00073] [00091] [00100] [00101] [00104]
**δέ** [00020] [00088]
**Δεῖ** [00094]
**δεῖ** [00038] [00080] [00091] [00101] [00104]
**δεικνύει** [00054]
**δένδρα** [00002]
**Δεῦρο** [00007]
**δεχόμενος** [00098] [00099]
**δηλονότι** [00086]
**δηλοῦνται** [00037]
**δηλοῦντες** [00103]
**δι** [00024] [00053] [00088] [00096] [00107]
**Διὰ** [00023]
**διὰ** [00043] [00088]
**διαβόλου** [00007] [00046] [00086]
**διδαχθέντες** [00069]
**διεσκέδασε** [00007]
**διηγεῖται** [00038]
**δικαίων** [00046]
**δίκην** [00090]
**Διὸ** [00047]
**διύπνισεν** [00007]
**διψῶσι** [00054]
**δόγμα** [00041]
**δοθήσεται** [00073]
**δόναξιν** [00003]
**Δόξα** [00063]
**δόξα** [00059] [00110]
**δόξαν** [00007]
**δοξολογίαν** [00103]
**δρεπάνην** [00004]
**δρόμον** [00008]
**δρόμου** [00072] [00089] [00090]
**δύο** [00078]
**δῶρα** [00095] [00097]

**Ἐὰν** [00052]
**ἔαρ** [00002] [00007]
**ἐάσαντες** [00033]
**ἑαυτὴν** [00008]
**ἑαυτοῦ** [00009]
**ἑαυτῶν** [00005]
**ἐβούλετο** [00019]
**ἐγγὺς** [00083]
**ἐγειρομένους** [00094]
**ἐγένετο** [00062]
**ἐγεννήθη** [00064]
**ἐγέννησε** [00011] [00027]
**ἐγκύψας** [00036]
**ἐγκύῳ** [00043]
**ἔγνωσαν** [00087]
**Ἐγώ** [00067]
**ἔδει** [00046]
**ἐδέχετο** [00097]
**ἐδίδασκεν** [00012]
**ἐθνικοῦ** [00094]
**ἐθνῶν** [00088]
**Εἰ** [00028] [00031] [00032] [00037] [00101]
**εἰ** [00071] [00073] [00078]
**εἶδε** [00025] [00026]

**εἴδομεν** [00050]
**εἰδωλολατρείας** [00099]
**εἶθ** [00094]
**εἰμι** [00067]
**εἶναι** [00043] [00070] [00074] [00076] [00087] [00088]
**εἴπατε** [00078]
**εἰπεῖν** [00051]
**εἶπεν** [00060] [00083]
**εἴρηκε** [00091]
**εἰρήνη** [00063]
**Εἰς** [00001]
**εἰς** [00038] [00043] [00043] [00107] [00109] [00110]
**ἐκ** [00002] [00007] [00007] [00009] [00020] [00020] [00020] [00028] [00028] [00036] [00036] [00044] [00065] [00068] [00073] [00073] [00081] [00086] [00088]
**Ἐκ** [00068]
**ἕκαστον** [00074]
**ἐκβαλλομένου** [00046]
**ἔκβασιν** [00087]
**Ἐκεῖνον** [00091]
**ἐκείνου** [00072]
**Ἐκκλησίας** [00106]
**ἐκλάμψαντος** [00006]
**ἐκλάμψῃ** [00002]
**ἐκόμιζον** [00073]
**ἐκπλήττει** [00020]
**ἐκπλήττομαι** [00052]
**ἐκράτει** [00014]
**ἐλάμβανε** [00020]
**ἐλαττοῦσθαι** [00091]
**ἔλεγε** [00047]
**ἐλθόντα** [00089]
**ἐλθόντες** [00092]
**ἐλθόντων** [00055]
**Ἕλλησι** [00075]
**ἐλπίδα** [00104] [00105]
**ἐμὲ** [00091]
**ἐμφανοῦς** [00044]
**ἐν** [00003] [00004] [00006] [00020] [00022] [00025] [00034] [00034] [00037] [00046] [00048] [00049] [00049] [00050] [00061] [00063] [00063] [00088] [00103] [00103] [00103] [00103] [00103]
**Ἐν** [00041]
**ἔνδοθεν** [00021]
**ἔννοιαν** [00010]
**ἐξ** [00020] [00043] [00055] [00084] [00084]
**ἐξαίφνης** [00062]
**ἐξασκήσαντας** [00109]
**ἐξαστράπτουσαν** [00104]
**ἐξέλθῃ** [00052]
**ἐξευρίσκει** [00015]
**Ἐξῆλθε** [00041]
**ἐξιόντα** [00081]
**ἐπ** [00023]
**ἐπαύσατο** [00090]
**ἐπειδὴ** [00007] [00028] [00082]
**Ἐπειδὴ** [00103] [00104]
**ἐπεπλήρωτο** [00078]
**ἐπεφάνη** [00019]
**ἐπὶ** [00003] [00004] [00007] [00033] [00041] [00058] [00063] [00064] [00065] [00081] [00083]
**ἐπίγεια** [00064]
**ἐπίγειος** [00016] [00017]
**ἐπιγείου** [00016]
**ἐπιγείων** [00103] [00103]
**ἐπιζητεῖν** [00070]
**ἐπισπᾶται** [00008]
**ἐπιστρεψάντων** [00088]
**ἐπιτελεῖ** [00052]
**ἐπιτήδευμα** [00006]
**ἐπιτηρεῖς** [00029]
**ἐπληρώθη** [00065]
**ἐπουρανίου** [00016]
**ἐπουρανίων** [00103]
**ἐργασίας** [00006]
**ἔργον** [00009]
**ἐροῦμεν** [00077]
**ἔσται** [00061]
**ἔστη** [00072]
**ἔστι** [00010] [00053]
**ἔστιν** [00049]
**ἔτει** [00041]
**ἐτελεσιούργησε** [00022]
**ἕτερον** [00101]
**ἐτέχθη** [00061]
**ἐτίκτετο** [00023]
**ἐτύγχανεν** [00012]
**εὐαγγελίζομαι** [00061]
**εὐαγγελιζόμενος** [00047]
**εὐαγγελιστὴς** [00035]
**Εὔας** [00078]
**εὐδοκία** [00063]
**εὑρεθῆναι** [00010]
**εὕρῃ** [00035]
**εὑρηκότες** [00087] [00087]
**εὑρήσει** [00036]
**εὑρίσκει** [00051]
**εὑρισκόμενον** [00013]
**εὕρισκον** [00023]
**εὑρίσκων** [00009]
**εὗρον** [00092]
**εὐωδιάζουσαν** [00105]
**ἐφαίνετο** [00021]
**ἐφαντάσθησαν** [00070]
**ἐφθάρη** [00027] [00029] [00031] [00031]
**ἐφίπτανται** [00005]
**ἐφοβήθησαν** [00059]
**ἐχάρησαν** [00087]
**ἔχει** [00006]
**Ἐχρῆν** [00108]
**ἐχρῶντο** [00069]
**ἐψηλάφων** [00023]
**ἑώρα** [00014]
**ἕως** [00072]

**ζαλώδεις** [00007]
**Ζήσεται** [00073]
**ζητήσας** [00035] [00036]
**ζητουμένου** [00069]
**Ζητῶ** [00069]

**ζωῆς** [00006]

**ἡ** [00002] [00008] [00012] [00020] [00027] [00028] [00031] [00042] [00051] [00064] [00067] [00067] [00110]
**ἢ** [00051] [00052]
**Ἦ** [00053]
**ἡδύνοντες** [00003]
**ἤλεγχε** [00011]
**ἤλθομεν** [00050]
**ἡλίῳ** [00002]
**ἡμᾶς** [00096]
**ἡμέραι** [00037]
**ἡμέραις** [00034] [00049]
**ἡμῖν** [00007] [00027] [00061] [00078]
**ἡμῶν** [00001] [00007]
**ἣν** [00025]
**ἦν** [00016] [00024] [00071] [00078] [00079] [00081] [00103]
**Ἡρώδην** [00107]
**Ἡρώδου** [00034] [00036] [00049]
**ἦσαν** [00058] [00079]
**ἥτις** [00043] [00061]
**ηὐλόγηνται** [00082]
**ηὐλόγησεν** [00082]

**θαλάσσης** [00005]
**θανάτου** [00046]
**θανόντων** [00079]
**θαύμασι** [00051]
**θαυμαστὸν** [00010]
**θεολόγους** [00033]
**Θεὸν** [00062]
**θεοποιουμένης** [00046]
**Θεὸς** [00018] [00024]
**θεότητα** [00008] [00073] [00094]
**θεότητος** [00017]
**Θεοῦ** [00030] [00090]
**θερμὸν** [00002]
**Θεῷ** [00063] [00096]
**θεωρῆσαι** [00101]
**θεωρήσαντες** [00087]
**θεωρήσας** [00083]
**θεωρίαις** [00051]
**θεϊκαῖς** [00007]
**θήξας** [00004]
**θησαυροὺς** [00095] [00104]

**Ἰακὼβ** [00084]
**Ἴδε** [00013] [00090]
**ἰδεῖν** [00054]
**ἰδίῳ** [00019]
**ἰδοὺ** [00049] [00061]
**ἱερὸν** [00026]
**Ἰησοῦ** [00001] [00034] [00049]
**ἱκεσίαν** [00103]
**ἵν** [00035]
**ἵνα** [00006]
**Ἰουδαίαν** [00043]
**Ἰουδαίας** [00034] [00049]
**Ἰουδαίων** [00049] [00086]
**ἴσασιν** [00075]
**Ἰσραὴλ** [00081] [00083] [00083]
**Ἰσραήλ** [00084]
**ἱστᾷ** [00008]
**ἴχνεσι** [00108]
**Ἰωάννης** [00090]
**Ἰωάννου** [00088]
**Ἰωσὴφ** [00043]
**Ιn** [00001]

**καθ** [00074]
**καθευδούσας** [00007]
**καιομένην** [00025]
**καιρόν** [00086]
**καιροῦ** [00038]
**Καίσαρος** [00041] [00046]
**καλεῖται** [00043]
**κάλλει** [00003]
**καλλιφώνων** [00003]
**καλυβῶν** [00003]
**κάμψει** [00103]
**καπνοῦ** [00007]
**καρδίας** [00007] [00104]
**καρπὸν** [00064]
**κατ** [00107]
**κατακαιομένην** [00025]
**κατακλυσμοῦ** [00079]
**κατακολουθήσαντες** [00086] [00087]
**καταλαμπόμενος** [00002]
**καταμάθω** [00052]
**καταμάθωμεν** [00101]
**καταπιστεύσαντες** [00005]
**καταράσασθαι** [00081]
**καταχθονίων** [00103]
**κατελθοῦσα** [00020]
**κατεχομένων** [00103]
**κατηγόρει** [00021]
**κατηγορεῖς** [00030]
**κατήραντο** [00082]
**κατηράσατο** [00082]
**κατοικεῖ** [00022]
**κάτω** [00046]
**κεῖραι** [00004]
**κεκτῆσθαι** [00104]
**κελεύοντος** [00046]
**κηρύγματι** [00090]
**κήρυκας** [00033]
**κίνησιν** [00006]
**κλαγγάζει** [00002]
**κλάγγεσι** [00003]

**κλῆμα** [00004]
**κληρονομίαν** [00109]
**κομιζόμενος** [00100]
**κοσμικοῖς** [00037]
**κόσμου** [00038] [00090]
**κόσμῳ** [00019]
**κρατούμενον** [00013] [00013]
**κρατούμενος** [00016] [00016] [00017]
**κρατουμένου** [00016] [00016]
**κρυεροῦ** [00002]
**κυηθὲν** [00011]
**κύησιν** [00012]
**κυπρίζοντες** [00005]
**Κύριος** [00047] [00061]
**Κυρίου** [00001] [00059] [00059]

**λαγόνων** [00007]
**λαθόντας** [00109]
**λαλεῖν** [00053]
**λαμπαδουχεῖται** [00064]
**λαμπρὸν** [00064]
**λαῷ** [00061]
**Λέγει** [00040] [00045]
**λέγει** [00057]
**λέγετε** [00078]
**λεγέτωσαν** [00027]
**λεγομένων** [00037]
**λέγοντες** [00049] [00070]
**λεγόντων** [00062]
**λέγων** [00030] [00066] [00090]
**λεπτυνεῖ** [00086]
**λίβανον** [00095] [00096] [00099] [00105]
**λιβάνῳ** [00103]
**λίθε** [00026]
**λικμήσει** [00086]
**λιπόντες** [00005]
**Λόγον** [00017]
**λόγον** [00006]
**Λόγου** [00028]
**λοιπὸν** [00046]
**Λουκᾶς** [00039] [00044] [00056]
**λυομένου** [00046]
**λυρῳδοῦντες** [00003]

**μάγοι** [00049] [00064] [00069] [00073] [00086] [00092]
**μάγους** [00070] [00088]
**μάγων** [00055]
**μαθηταῖς** [00047]
**μαῖαι** [00023]
**μακαρίαν** [00007]
**μᾶλλον** [00028] [00031] [00032] [00038]
**Μαρία** [00025]
**Μαριὰμ** [00043]
**μαρτυρεῖς** [00032]
**ματαιολόγους** [00033]
**Ματθαῖος** [00038] [00055]
**μεγάλην** [00061]
**μέγαν** [00059]
**μέγιστον** [00044] [00053]
**μεῖναι** [00053]
**μέλη** [00106]
**μέλλον** [00103]
**μελῳδίαις** [00002]
**μεμνηστευμένῃ** [00043]
**μὲν** [00018] [00029] [00036] [00038] [00044] [00046] [00055] [00098]
**μέρος** [00094]
**μετακαλεσάμενος** [00081]
**μεταῤῥυθμίζουσι** [00003]
**μηκύνω** [00006]
**μῆνες** [00037]
**μηνυούσας** [00073]
**μῆτερ** [00026]
**μητέρα** [00014] [00015] [00092]
**μητρὸς** [00026]
**μνημονεύει** [00055]
**μοι** [00088] [00089]
**μόνον** [00086]
**μόνος** [00079]
**μόνων** [00078]
**μου** [00008] [00020] [00051]
**μυθευομένην** [00075]
**μυθολόγοι** [00074]
**μυστήρια** [00080]
**μυστήριον** [00013] [00015] [00044] [00101]
**μυστηρίου** [00016]
**μυστικῶς** [00022]
**Μωὰβ** [00085] [00086]
**Μωαβιτῶν** [00081]
**Μωϋσῆς** [00025]

**νέκρωσιν** [00100]
**νηδύϊ** [00022]
**νικῶμαι** [00051]
**νόει** [00088]
**νοεῖν** [00080]
**νοήσαντες** [00086]
**νομίζουσι** [00076]
**νοῦν** [00007] [00020]
**νυκτὸς** [00058]
**Νῶε** [00079]
**νώτοις** [00005]

**ξένον** [00087]
**ξύλῳ** [00005]

**ὁ** [00002] [00016] [00021] [00021] [00024] [00028] [00028] [00031] [00035] [00035] [00047] [00049] [00060] [00066] [00071] [00078] [00081] [00086] [00086] [00090] [00090] [00097] [00104]
**ὃ** [00078]

**ὄγκος** [00021]
**ὁδηγουμένους** [00088] [00088]
**ὁδηγῷ** [00069]
**ὁδὸς** [00067]
**ὁδοῦ** [00107]
**οἱ** [00003] [00026] [00069] [00073] [00074] [00076] [00079] [00086] [00092]
**οἰκεία** [00012]
**οἰκείων** [00073]
**οἴκου** [00043]
**οἰκουμένην** [00041]
**οἰκοῦντες** [00003]
**Οἴμοι** [00051]
**οἵτινες** [00075]
**ὁμίχλας** [00007]
**ὁμολογεῖν** [00094]
**ὁμοῦ** [00044]
**ὃν** [00026] [00081]
**ὄναρ** [00107]
**ὀνόματα** [00046] [00048]
**ὄντων** [00078]
**Ὁπόταν** [00002]
**Ὅρα** [00089]
**ὁρατὸν** [00013]
**ὄρει** [00025]
**ὄρεσιν** [00003]
**ὁρμήν** [00006]
**ὁρμώμενοι** [00086]
**ὀρνέων** [00003]
**ὀρνίθων** [00002]
**ὄρους** [00026] [00083]
**ὁρωμένη** [00020]
**ὁρώμενος** [00016] [00017]
**ὁρωμένου** [00016]
**ὁρῶν** [00015]
**ὁρῶντες** [00005]
**ὅσον** [00088]
**ὅστις** [00086]
**Ὅταν** [00009]
**ὅτε** [00086]
**ὅτι** [00011] [00012] [00020] [00029] [00048] [00048] [00052] [00061] [00086]
**Οὐ** [00070]
**οὐ** [00086] [00088]
**Οὐδ** [00074]
**οὐδὲ** [00075]
**οὐκ** [00010] [00020] [00020] [00021] [00027] [00029] [00053] [00073] [00097]
**οὖν** [00013] [00086]
**οὐρανίοις** [00064]
**οὐράνιον** [00007] [00007] [00094]
**οὐράνιος** [00016] [00017]
**οὐρανίου** [00062]
**οὐρανίων** [00103]
**οὐρανοῖς** [00048]
**Οὐρανὸν** [00022]
**οὐρανὸν** [00053]
**οὐρανὸς** [00064] [00078]
**οὐρανοῦ** [00020]
**οὐρανῶν** [00046]
**οὗς** [00077] [00082] [00082]
**οὖσα** [00031]
**οὔση** [00043]
**Οὗτοι** [00086]
**οὕτω** [00038]
**οὕτως** [00040] [00094] [00094]
**οὐχ** [00014] [00023] [00051]
**ὄφιν** [00109]
**ὄψεις** [00003]
**ὄψιν** [00009]

**παθητῷ** [00096]
**παιδίον** [00052] [00070] [00092]
**παιδίου** [00069] [00089]
**πάλαι** [00087]
**πάλιν** [00074] [00087]
**πᾶν** [00006] [00103]
**παντὶ** [00061]
**παντοδύναμος** [00018]
**παντὸς** [00038]
**πάντων** [00079]
**παρ** [00075]
**παρὰ** [00004] [00087]
**παραβολὴν** [00083]
**παραλείπειν** [00051]
**παρεγένοντο** [00049]
**παρεμβεβληκότα** [00083]
**παρετήρουν** [00086]
**Παρθένε** [00025]
**παρθένε** [00026]
**παρθενικῇ** [00022]
**παρθενικῶν** [00007]
**Παρθένον** [00032]
**παρθένον** [00009] [00009] [00010] [00010] [00015] [00053] [00053]
**Παρθένος** [00020] [00027] [00031]
**παρθένος** [00012]
**Παρθένου** [00009] [00020]
**παρθένου** [00015] [00026] [00068]
**παροξύνωμεν** [00007]
**πᾶς** [00002]
**πᾶσα** [00006]
**πᾶσαν** [00010] [00041]
**πάσας** [00086]
**Πατέρα** [00032]
**Πατὴρ** [00031]
**πατριᾶς** [00043]
**Πατρὸς** [00028] [00046]
**πελάγιοι** [00005]
**πέλαγος** [00005]
**πέμπει** [00054]
**πεποιημένον** [00006]
**περὶ** [00069] [00103]
**περιέλαμψεν** [00059]
**περιτυποῦνται** [00037]
**πεσεῖν** [00094]
**πεσόντες** [00079] [00093]
**πέτραν** [00004]

**πετώμενος** [00002]
**πίστει** [00009]
**πίστευε** [00032]
**πιστεύεις** [00029]
**πίστιν** [00104] [00104] [00109]
**πιστῶν** [00046]
**πλάνης** [00088]
**πλάνον** [00070]
**πλάνος** [00071]
**πλεῖον** [00020]
**πλῆθος** [00062]
**πληρούσας** [00073]
**πλωτῆρες** [00005]
**πνεῦμα** [00017]
**πνεύματι** [00005]
**Πνεύματος** [00028]
**πνεύματος** [00020]
**πόαν** [00002] [00003]
**πόθεν** [00069]
**ποθούμενον** [00054]
**ποιμένες** [00003] [00058] [00064]
**ποίμνην** [00058]
**πόλει** [00061]
**πόλεις** [00037]
**πόλιν** [00043]
**πολλῷ** [00028] [00031] [00032]
**πολυπραγμονῶ** [00009]
**πολυπραγμονῶν** [00015]
**πολυφθόγγοις** [00003]
**πόνων** [00073]
**πορεύεται** [00004]
**πόσῳ** [00038]
**Ποῦ** [00026] [00049]
**πρᾶγμα** [00009] [00035]
**πράγματος** [00021]
**πρᾶξιν** [00109]
**πράῳ** [00003]
**πρέμνοις** [00002]
**πρέπει** [00110]
**πρὶν** [00052]
**προβάλλεται** [00002]
**προβάτων** [00003]
**προερχόμενος** [00024]
**προετύπουν** [00103]
**προλόγῳ** [00006]
**προνομεύσει** [00085]
**πρὸς** [00006] [00006] [00008] [00069] [00077] [00088] [00094] [00107]
**προσεκόμιζον** [00104]
**προσεκύνησαν** [00093]
**προσελθόντα** [00104]
**προσελθόντας** [00108]
**προσέχειν** [00080]
**προσήνεγκαν** [00095]
**προσιόντας** [00094]
**προσκυνῆσαι** [00050]
**προσκυνοῦσιν** [00064]
**προστάττοντος** [00046]
**προστίθησι** [00039]
**προσφέρουσι** [00102]
**προσφοραῖς** [00103]
**προσφορὰς** [00073]
**πρότερον** [00051]
**προφητείαις** [00086]
**προφητευθέντα** [00087]
**προφητευθέντων** [00087]
**προφητεύσας** [00083]
**προφήτης** [00081]
**προφητικὸν** [00073]
**προφήτου** [00086]
**πρώτη** [00042]
**πρώτην** [00044] [00045]
**πρῶτον** [00039] [00094]
**πρώτῳ** [00041]
**Πῶς** [00010] [00071] [00073]
**πῶς** [00027] [00078]

**σάρκα** [00017] [00017] [00035] [00038] [00068] [00094]
**σαρκὶ** [00088]
**σαρκὸς** [00046]
**σημασίας** [00036]
**σημεῖα** [00052]
**σημεῖον** [00053]
**Σημειοῦται** [00044]
**σημειοῦται** [00035]
**σήμερον** [00016] [00061]
**σὴν** [00031]
**σιωπῶντα** [00053]
**σκηνῇ** [00004]
**σμύρναν** [00095] [00096] [00100] [00102] [00106]
**σμύρνῃ** [00103]
**σπέρματος** [00020]
**σπορεὺς** [00021]
**σταθέντα** [00089]
**στρατιᾶς** [00062]
**στρατοπεδείας** [00083]
**Σὺ** [00088]
**σὺ** [00029] [00032]
**συμβολαίοις** [00037]
**σὺν** [00043] [00062] [00064]
**συνάπτεται** [00064]
**συνέκδημον** [00054]
**συνέχομαι** [00051]
**συνιστῶσα** [00020]
**συντρίψει** [00085] [00086]
**συσφίγγουσαν** [00106]
**σφραγίζω** [00009]
**σχέσιν** [00017]
**σώματος** [00012] [00020]
**σωτηρίας** [00038]
**Σωτῆρος** [00035]

**τὰ** [00002] [00048] [00048] [00064] [00080] [00097] [00106]

ταῖς [00002] [00003] [00007] [00046] [00051] [00080] [00086] [00086] [00103]
τὰς [00003] [00003] [00005] [00007] [00007] [00086]
τε [00003] [00087]
τέκνον [00015] [00026]
τελείῳ [00088]
τεμνόμενον [00026]
τεσσαρακοστῷ [00041]
τεχθεὶς [00019] [00049]
τεχθείσης [00038]
τεχθὲν [00009]
τεχθέντα [00054] [00087] [00088]
τεχθέντι [00102]
τέχνη [00006]
τῇ [00004] [00009] [00022] [00043] [00050] [00065] [00103]
τὴν [00001] [00003] [00004] [00004] [00005] [00006] [00006] [00006] [00007] [00009] [00012] [00014] [00015] [00017] [00017] [00017] [00017] [00023] [00023] [00031] [00032] [00035] [00036] [00038] [00038] [00039] [00041] [00043] [00044] [00052] [00058] [00069] [00071] [00073] [00075] [00083] [00083] [00087] [00090] [00092] [00094] [00094] [00100] [00103] [00103] [00103] [00107] [00109]
τῆς [00004] [00005] [00006] [00006] [00007] [00008] [00009] [00017] [00017] [00020] [00021] [00023] [00034] [00035] [00036] [00036] [00038] [00039] [00043] [00049] [00052] [00058] [00065] [00068] [00068] [00073] [00078] [00079] [00083] [00088] [00088] [00094] [00100] [00104] [00106] [00108]
τί [00051]
τι [00051]
τινες [00070]
Τίς [00014]
τίς [00015]
τις [00081]
τὸ [00004] [00005] [00007] [00009] [00009] [00009] [00009] [00010] [00011] [00014] [00015] [00015] [00017] [00022] [00023] [00035] [00043] [00045] [00052] [00053] [00053] [00054] [00065] [00065] [00073] [00073] [00081] [00092] [00103] [00103]
τοιαύτας [00073]
τοίνυν [00007]
τοιοῦτοι [00076]
Τοιοῦτος [00016]
τοῖς [00003] [00005] [00006] [00036] [00037] [00038] [00046] [00047] [00048] [00051] [00054] [00064] [00108]
τόκον [00009] [00010]
Τὸν [00036]
τὸν [00002] [00004] [00006] [00007] [00008] [00009] [00010] [00017] [00020] [00031] [00032] [00032] [00035] [00035] [00035] [00035] [00036] [00044] [00045] [00050] [00053] [00054] [00062] [00064] [00070] [00081] [00083] [00086] [00086] [00087] [00087] [00087] [00088] [00089] [00104] [00109]
τόπον [00035] [00035] [00036]
τόπου [00038]
Τότε [00003] [00004] [00005]
τότε [00002] [00039] [00065] [00086]
Τοῦ [00034] [00049]
τοῦ [00001] [00003] [00006] [00007] [00007] [00012] [00021] [00021] [00028] [00034] [00035] [00038] [00038] [00038] [00038] [00044] [00069] [00069] [00072] [00073] [00078] [00083] [00083] [00086] [00086] [00086] [00086] [00089] [00089] [00090] [00090] [00090] [00094] [00094]
τοὺς [00003] [00033] [00033] [00070] [00085] [00085] [00086] [00087] [00088] [00094] [00095] [00097] [00098] [00104] [00108] [00110]
τουτέστιν [00068]
τοῦτο [00047] [00078]
τρεῖς [00104]
τριῶν [00079]
τρόπον [00009]
τρόπος [00028]
τυγχάνουσα [00020]
τυγχάνουσαν [00009]
τυγχανούσης [00079]
τύπους [00088]
τῷ [00003] [00003] [00006] [00019] [00025] [00061] [00062] [00090] [00102] [00103] [00103]
τῶν [00003] [00003] [00003] [00007] [00037] [00039] [00046] [00049] [00073] [00074] [00078] [00079] [00079] [00079] [00079] [00081] [00086] [00087] [00088] [00103] [00103] [00103] [00110]

ὕδατι [00005] [00079]
Υἱὸν [00031] [00032]
υἱοὺς [00085]
υἱῶν [00079]
ὑμεῖς [00078]
ὑμῖν [00048] [00061]
ὑμῶν [00048]
ὑπ [00009]
ὕπατοι [00037]
ὑπεκφαίνων [00044]
ὑπεξελθόντες [00003]
ὑπὲρ [00037] [00039]
ὑπερβαῖνον [00010]
ὑποδείξας [00090]
ὑπολάμψας [00090]
ὑποτάσσεται [00048]
ὕστερον [00038]
ὑψίστοις [00063]
ὕψους [00094]

φαινομένου [00016]
φασὶν [00074]
φάσκει [00104]
φάτνης [00064]
φέροντας [00097]
φέρουσι [00003]
φησὶν [00092]
φθαρῆναι [00032] [00032]
φθαρτῆς [00031]
φθάσας [00072]
φθειρομένη [00025]
φθορὰν [00023]
φιλαργυρίας [00098]
φιλοπράγμονες [00026]
φιλόσοφοι [00078]
φοβεῖσθε [00060]
φόβον [00059]
φυλακὰς [00058]
φυλάσσοντες [00058]
φύσεως [00023] [00031] [00052]
φύσιν [00017] [00023]
φύσις [00012]
φωτὶ [00088]
φωτὸς [00088]

χαίρετε [00048] [00048]
χαρὰν [00061]
χειμῶνος [00002]
χειρὸς [00026]
χέρσον [00005]
χλοερὰν [00002]
χορείας [00079]
χορεύουσι [00064]
χορὸς [00002]

**χρείαν** [00006]
**χρήζων** [00097]
**χρηματισθέντες** [00107]
**Χριστιανοὺς** [00076]
**Χριστὸν** [00071] [00088] [00090]
**Χριστὸς** [00007] [00016] [00018] [00061] [00064] [00066] [00097]
**Χριστοῦ** [00001] [00008] [00034] [00038] [00046] [00094] [00109]
**Χριστῷ** [00094] [00104] [00108]
**χρονογράφοις** [00036]
**χρόνον** [00035] [00035] [00036] [00044]
**χρόνων** [00039]
**χρυσίου** [00073]
**Χρυσὸν** [00098] [00102]
**χρυσὸν** [00095] [00096] [00104]
**χρυσῷ** [00103]
**χώραν** [00107]
**Xhristiὰ** [00001]

**ψηλαφώμενον** [00013]
**ψυχὰς** [00005] [00046]
**ψυχῆς** [00020] [00100]
**ψυχρὰς** [00007]
**ψυχῶν** [00103]

**ὠ** [00026] [00026]
**Ὢ** [00016]
**Ὦ** [00025] [00078]
**ὠδὶν** [00020]
**ὢν** [00018]
**ὡραΐζεται** [00002]
**ὡς** [00019] [00023] [00074] [00088] [00096] [00096] [00096] [00104] [00105] [00106]
**ὧς** [00070]
**ὥσπερ** [00094]
**ὠφελῶν** [00097]
**ὤφθη** [00059]